www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΧΡΗΣΤΟΥ

# ΤΟΥ ΚΗΠΟΥΡΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΒ´ Φεβρουαρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.**

---

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ " Κύριε ἐκέκραξα " ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Τῆς Ἰλλυρίας τὸ θρέμμα
τὸ ἱερώτατον
καὶ νεοάθλων πάντων
τὸ πανεύοσμον ἴον
τιμήσωμεν ἐν ὕμνοις θεοπρεπῶς,
Χρῆστον τὸν ἀξιάγαστον·
τὰς γὰρ παγίδας ἐπάτησε τῶν ἐχθρῶν
τοῦ Χριστοῦ ἰσχύϊ πίστεως.

Τὴν τοῦ Σταυροῦ πανοπλίαν
ἀμφιεσάμενος
ὀφρῦν ἐκγόνων Ἄγαρ
ἐπηρμένην καθεῖλες
διὸ καὶ τῷ στεφάνῳ τῶν ἀθλητῶν
ὁ Χριστὸς ἐστεφάνωσε
σέ, νεομάρτυς τῆς πίστεως εὐκλεές,
Χρῆστε, ὄντως τρισμακάριστε.

Τῆς τοῦ Χριστοῦ σε ἀγάπης
οὐδεὶς ἐχώρισεν
οὐ τιμωρίας ξύλον,
οὐδὲ τμῆσις αὐχένος
ἀδούλωτον γὰρ σθένος σοῦ τῆς ψυχῆς,
Χρῆστε, πίστεως πρόβολε,
ἐπιδεικνύων ὑπέμεινας καρτερῶς
τοῦ σαρκίου πᾶσαν βάσανον.

www.tezaurliturgic.ro

Πρὸ μισοχρίστου τυράννου
ἀνόμου βήματος
ἐν Κωνσταντινουπόλει
ὡμολόγησας χαίρων
τὸ ὄνομα τὸ θεῖον τοῦ Ἰησοῦ
καὶ ἰδίοις ἐφοίνιξας
αἱμάτων ῥείθροις τὰς ῥύμας αὐτῆς, στεῤῥὲ
Χρῆστε, πάντιμε νεόαθλε.

**Δόξα. Ἦχος β΄.**

Τὸν πρότερον μὲν διαλαλοῦντα ἐν ῥύμαις τῆς Βασιλίδος
ὀπώρας καὶ κηπευτικὰ πρὸς ὄνησιν προϊόντα,
ὕστερον δὲ πρὸ τῶν Ἄγαρ ἐκγόνων
τὸ ὑπὲρ πᾶν τοῦ Κυρίου ὄνομα,
Χρῆστον, τὸν κλεινὸν νεομάρτυρα, οἱ πιστοί, εὐφημήσωμεν·
οὗτος γὰρ στεῤῥῶς ἐλέγξας τὸ ψεῦδος
καὶ τὴν πλάνην μειώσας
τῷ ἀνόμων ξίφει τὸν αὐτοῦ ὑπέκλινεν αὐχένα·
καὶ νῦν τῆς ἀτελευτήτου δόξης στέφανον δεξάμενος
στεφηφόρος παρίσταται πρὸ τοῦ θρόνου τοῦ ἀγωνοθέτου Κυρίου,
Ὧ ἐκτενῶς πρεσβεύει ὑπὲρ τῶν πίστει
καὶ πόθῳ τιμώντων ἐν ᾄσμασιν
αὐτοῦ μνήμην τὴν σεπτὴν καὶ ἀεισέβαστον.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χρῆστον τὸν κηπουρόν,
ἐν Κωνσταντινουπόλει
τμηθέντα τὸν αὐχένα
διὰ Χριστοῦ τὴν πίστιν
ἀξίως εὐφημήσωμεν.

**Στίχος.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Μάρτυς νεοφανές,
νευρούμενος ἰσχύϊ
τοῦ Ζωοδότου, Χρῆστε,
ἀπίστων τῇ μαχαίρᾳ
ὑπέκλινας τὴν κάραν σου.

**Στίχος.** Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Κλεϊσμα νεαυγῶν
τῆς πίστεως μαρτύρων,
ὡς πρόβατον ἐσφάγης

www.tezaurliturgic.ro

διὰ Κυρίου, Χρῆστε,
τὴν πίστιν τὴν ἀμώμητον.

**Δόξα. Τριαδικόν.**

Φύσιν Τριαδικήν,
Πατέρα σὺν τῷ Λόγῳ
καὶ Πνεύματι τῷ θείῳ,
δοξάζομεν ἀπαύστως
τὴν ἄναρχον Θεότητα.

**Καὶ νῦν. Θεοτοκίον.**

Κήπων τῶν οὐρανῶν
ἀνάδειξον σοὺς δούλους,
Παρθένε, κληρονόμους
τοῦ νεοάθλου Χρήστου,
τοῦ κηπουροῦ, δεήσεσι.

Νῦν ἀπολύεις...**Τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

.........................................................................................................................

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ "Μακάριος ἀνήρ ", εἰς δὲ τὸ "Κύριε ἐκέκραξα " ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.**

Ὡς ἀμνὸς ἐθελόθυτος
καὶ πανάμωμον σφάγιον
τῷ δημίου ξίφει σὴν κάραν ἔκλινας
καὶ ταῖς ῥοαῖς τῶν αἱμάτων σου
Κωνσταντινουπόλεως
ἐπορφύρωσας τὴν γῆν,
κηπουρὲ ἀθλοφόρητε,
Χρῆστε πάντιμε,
ὁ ἐν χρόνοις δουλείας δυσχειμέροις
τοῦ Χριστοῦ ὁμολογήσας
τρανῶς τὸ ἅγιον ὄνομα.

Εὐωδέστατον λείριον,
γεωργίᾳ τῆς πίστεως
νοητῶς ἐβλάστησας, Χρῆστε ἔνδοξε,
ἐν Ἰλλυρίᾳ καὶ πόνοις σου
ἀρίστης ἀθλήσεως
Ἐκκλησίαν τοῦ Χριστοῦ

www.tezaurliturgic.ro



εὐωδίασας, ἄλκιμε,
θείῳ Πνεύματι·
διὰ τοῦτο τελοῦντές σου τὴν μνήμην
τὴν λαμπρὰν δοξολογοῦμεν
τὸν σὲ ἀξίως δοξάσαντα.

Ἐκτμηθεὶς τὸν αὐχένα σου
ἐναπέτεμες φρύαγμα
τῆς ἀπάτης, Χρῆστε, στεῤῥὲ νεόαθλε,
καὶ ταῖς ῥοαῖς τῶν αἱμάτων σου
διάνοιαν ἤρδευσας
τῶν πιστῶν φέρειν καρπὸν
τῆς ἀγάπης τοῦ Κτίσαντος
καὶ οὐράνιον
πόθον καρποφορεῖν τῇ χάριτί σου
καὶ λαμπρῶς σε μακαρίζειν
ὡς εὐσταλῆ νεομάρτυρα.

Πίστιν τὴν παναμώμητον
πρὸς Χριστὸν τὸν Θεάνθρωπον
στόματι λαμπρῷ σου τρανῶς ἐκήρυξας
πρὸ ἀσεβούντων τοῦ βήματος
μὴ πτήξας, ἀοίδιμε,
τὴν μανίαν καὶ ὀργὴν
τὴν αὐτοῦ, Χρῆστε ἄριστε
ἀθλοφόρητε,
ἀλλ' ὑπέμεινας τμῆσιν σοῦ αὐχένος
καὶ ἰσότιμος τῶν πάλαι
ὤφθης μαρτύρων τῆς πίστεως.

Ἐπὶ ξύλου σου πρόσδεσιν
καὶ πληγὰς τὰς τοῦ σώματος
ἐν εἱρκτῇ ὑπέμεινας καρτερώτατα
ὡς ἄλλου πάσχοντος, ἅγιε,
δυνάμει τῆς χάριτος
τοῦ Θεοῦ καὶ κεφαλὴν
ἐκτμηθεὶς τὴν σὴν πάντιμον
πρὸς οὐράνια,
Χρῆστε μάρτυς, ἀνέδραμες καὶ δήμοις
ἀθλητῶν συνηριθμήθης
τῶν ἀπ' αἰῶνος, μακάριε.

Δεῦτε, πάντες, τιμήσωμεν
κηπουρὸν τὸν πανένδοξον
κήπους τὸν λιπόντα ταχὺ τῆς Πόλεως
τοῦ Κωνσταντίνου καὶ ἄσμενον
δραμόντα πρὸς ἔνδροσον
κῆπον θείας χαρμονῆς
δι' ἀρίστης ἀθλήσεως

www.tezaurliturgic.ro

καὶ λαμπρότητος
ἀϊδίου ἐν χρόνοις τοῖς ἐσχάτοις,
Χρῆστον, σέμνωμα μαρτύρων
Χριστοῦ τὸ νέον τῆς πίστεως.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἄγων τὸ τεσσαρακοστὸν τῆς ἡλικίας σου ἔτος, ἀξιάγαστε,
Χριστὸν ὡμολόγησας ἐνώπιον χριστομάχων ἐκγόνων τῆς Ἄγαρ
καὶ ὡς ἱερεῖον λογικὸν καὶ ὁλοκάρπωμα θεῖον
σεαυτὸν Χριστῷ προσήγαγες, Χρῆστε νεόαθλε·
καταλιπὼν οὖν τοὺς κήπους τῆς Κωνσταντινουπόλεως
ἀνέδραμες ἀπολαῦσαι τῶν κήπων τῆς οὐρανίου ὡραιότητος,
ἔνθα Χριστῷ πρεσβεύεις καὶ ἡμᾶς καταξιῶσαι αὐτῆς τρυφῆσαι
τοὺς τελοῦντας ἐν ὕμνοις τὴν πανσέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μγ΄ 9 - 14 )**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ Παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ε΄ 15 - στ΄ 3 )**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου

www.tezaurliturgic.ro

θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ᾿ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ᾿ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε τῷ Κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**
**Ἦχος α΄.**

Εὐφραίνεται ἐνθέως ἡ τοῦ Χριστοῦ Ἐκκλησία
καυχωμένη τῇ παῤῥησίᾳ σου
καὶ τῇ ἀθλητικῇ σου εὐκληρίᾳ,
Χρῆστε, νεομάρτυς πανάριστε·
στεῤῥῶς γὰρ ἀγωνισάμενος
ὑπὲρ τοῦ σεπτοῦ ὀνόματος τοῦ παναγάθου Θεοῦ
οὐρανίων ἐπάθλων ἔτυχες
τῶν μὴ φθειρομένων, καρτερόψυχε·
αὐτῶν καὶ ἡμᾶς ἀξίωσον
τῶν ἐκτελούντων ἐν πίστει τὴν φωτοφόρον μνήμην σου
καὶ αἰτουμένων τὰς ἀόκνους
πρὸς τὸν εὐΐλατον Χριστὸν πρεσβείας σου.

**Ἦχος β΄.**

Εὐπρεπῶς ἐνδεδυμένος τὸν χιτῶνα τῆς πίστεως
ἀνδρειοτάτῃ ψυχῇ τὸ σκάμμα ὑπῆλθες τῆς ἀθλήσεως
ἐν Κωνσταντινουπόλει, Χρῆστε παμμακάριστε·
καταλιπὼν γὰρ τὸν εὐπρεπισμὸν καὶ καλλιέργειαν τῶν κήπων

www.tezaurliturgic.ro

οὐρανίων κήπων ἐπεθύμησας κληρονόμος γενέσθαι,
ἔνθα εὐφραινομένων ἡ κατοικία·
καλῶς οὖν ἀγωνισάμενος
καὶ τμῆσιν τοῦ αὐχένος σου καρτερῶς ὑπομείνας
ἐπέτυχες τοῦ ἐφετοῦ
καὶ μεσίτης ἡμῶν γέγονας πρὸς Κύριον θερμότατος.

**Ἦχος γ΄.**

Ὁλικῇ ἐφέσει προκρίνας ὑπὲρ Χριστοῦ ἀποθανεῖν
τὴν ἐν σοὶ οἰκοῦσαν ψυχικὴν λαμπρότητα
πᾶσιν ὑπέδειξας, Χρῆστε νεόαθλε·
διὸ οὐδόλως ἐκάμφθης
ἐν εἱρκτῇ συγκλειόμενος,
τῷ τῆς τιμωρίας ξύλῳ προσδεόμενος
καὶ σφοδρῶς χερσὶν ἀνόμων μαστιζόμενος·
τῆς πηγῆς οὖν νῦν ἀπολαύων τῶν ἀγαθῶν
δρόσισον καὶ ἡμᾶς θερμῶν πρεσβειῶν σου ῥανίσι
πρὸς τὸν φιλάνθρωπον καὶ ἐλεήμονα Κύριον.

**Ἦχος δ΄.**

Τῷ πυρὶ τῆς θείας ἀγάπης ὅλος ἀναφλεχθεὶς
σεαυτὸν ἠρνήσω
καὶ πρὸς ἀθλήσεως σκάμματα ἐχώρησας προθύμως
ἀνενδότῳ φρονήματι, στεῤῥόφρον ἅγιε·
εὐθαρσῶς γὰρ καταισχύνας
τῆς ἀπάτης τὸ φρύαγμα
καὶ ὑπερφρονήσας ἐπαγγελιῶν σφαλλομένων
Χριστὸν ὡμολόγησας·
ὅθεν δοξάζων τοὺς ἀγῶνάς σου
ὁ δίκαιος ἀγωνοθέτης Χριστὸς
χαρᾶς ἀϊδίου σε ἠξίωσε, Χρῆστε πάντιμε,
ἧς καὶ ἡμᾶς τυχεῖν ἀξίωσον πρεσβείαις σου.

**Δόξα. Ὁ αὐτός.**

Τὸν ἐν ἐσχάτοις ἔτεσι τῆς εὐσεβείας ἐκφαίνοντα τὴν δύναμιν
καὶ Χριστοῦ τὴν Ἐκκλησίαν ποτίσαντα ἰδίοις αἱμάτων χεύμασι,
Χρῆστον, τὸν κηπουρόν, οἱ πιστοί, ἀξιοχρέως τιμήσωμεν·
οὗτος γὰρ ὡς δένδρον εὐθαλέστατον
ὀπώρας εὐχύμους ἐκαρποφόρησεν
οὐχὶ πρὸς ὄνησιν, ἀλλὰ πρὸς ζωὴν τὴν αἰώνιον·
καὶ νῦν λειμῶνος τοῦ οὐρανίου κληρονόμος πέλων
καὶ σὺν τοῖς πάλαι ἀθλήσασιν Ἁγίοις χαίρων
Χριστῷ πρεσβεύει ὑπὲρ τῶν πίστει τιμώντων
αὐτοῦ τὴν μακαρίαν καὶ πολυσέβαστον ἄθλησιν.

www.tezaurliturgic.ro

**Καὶ νῦν. Θεοτοκίον.**
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α´ Χαίροις, ἀσκητικῶν.**

Χαίροις, νεομαρτύρων φανέ,
ὁ καταυγάσας ἀριστείας ἀκτῖσί σου
καὶ θείου σου μαρτυρίου
μαρμαρυγαῖς εὐσεβῶν,
στεφανῖτα Χρῆστε,
τὰ συστήματα·
Χριστοῦ γὰρ τὸ ὄνομα
τὸ σεπτὸν ὡμολόγησας
πρὸ τῶν ἀνόμων
Ἄγαρ τέκνων τοῦ βήματος
καὶ ἐνήθλησας
στεῤῥοτάτῳ φρονήματι·
ὅθεν τὴν μακαρίαν σου
αὐχένος ἀπότμησιν
δοξολογοῦντες ὡς πρέσβυν
σὲ πρὸς Θεὸν προβαλλόμεθα
ἀεὶ δυσωποῦντα
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

**Στίχος.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Χαίροις, ὁ κηπουρὸς ὁ σεμνὸς
τῆς Βασιλίδος, Χρῆστε μάκαρ, τῶν Πόλεων,
ἀγάπην διὰ Κυρίου
εὐπρεπισμὸν ὁ λιπὼν
κήπων τῶν γηΐνων,
γενναιότατε,
καὶ κῆπον οὐράνιον
ὁλοθύμῳ ἐφέσει σου
ἐπιποθήσας
καὶ μαρτύρων ὁμόζηλος
καὶ ὁμότροπος
γεγονὼς ἄρτι. ἔνδοξε·
ὅθεν ὡς ἄλλου πάσχοντος
πληγὰς τὰς τοῦ σώματος
καὶ τοῦ αὐχένος σου τμῆσιν
καθυπομείνας στεῤῥότατα
μετέστης πρὸς κήπους
οὐρανῶν Χριστῷ πρεσβεύων
ὑπὲρ προσφύγων σου.

www.tezaurliturgic.ro

**Στίχος.** Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Χαίροις, ὁ εὐφροσύνης τρυφῶν
νῦν ἐν τῷ κήπῳ τῆς Ἐδὲμ τῆς ἀτέρμονος
ὡς μάρτυς Χριστοῦ γενναῖος
καὶ κηπουρῶν νεαυγῶν
ἄστρον φωτοβόλον,
Χρῆστε πάντιμε·
δημίῳ γὰρ ἔκλινας
κακοπίστῳ τὴν κάραν σου
καὶ ὥσπερ θῦμα
λογικὸν καὶ πανίερον,
μάκαρ, σφάγιον
ἐκτομὴν καθυπέμεινας
ταύτης· διὸ δεδόξασαι,
Κωνσταντινουπόλεως
ἀμνέ, παρὰ τοῦ Κυρίου
τοῦ δόξης κότινον νέμοντος
τοῖς ὁμολογοῦσι
τὸ Αὐτοῦ σεπτὸν καὶ μέγα
καὶ θεῖον ὄνομα.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἐκγόνων τῆς Ἄγαρ ἄθεον ὀφρῦν
ἀθλητικῇ σου ἐνστάσει καταβαλὼν
ἐθριάμβευσας, Χρῆστε νεομάρτυς·
σὺ γὰρ ὡς ἀρνίον ἄκακον καὶ θυσία ἄμωμος
ὑπὲρ Χριστοῦ ἐσφαγιάσθης,
Οὗ Θεότητα περιτράνως ὡμολόγησας·
Αὐτῷ οὖν συναγαλλόμενος
μὴ παύσῃ αἰτούμενος ἡμῖν διδόναι
παθῶν ἀπαλλαγὴν καὶ πταισμάτων συγχώρησιν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι.....

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τοῦ Χριστοῦ δι᾽ ἀγάπην ἀμνὸν ὡς ἄμωμον
σφαγιασθέντα ἐν χρόνοις
ἐσχάτοις, δεῦτε, πιστῶς
Χρῆστον, πάντες, κηπουρόν, ἀνευφημήσωμεν,
ὥσπερ νεόδρεπτον ἡδὺ
ῥόδον μεταφυτευθὲν
εἰς κήπους Ἐδὲμ ἀφθίτους,
ὧν καὶ ἡμᾶς ἀπολαῦσαι
θερμῶς πρεσβεύει τῷ Παντάνακτι.

www.tezaurliturgic.ro

**Θεοτοκίον**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος.....

**Ἀπόλυσις**

.................................................................................................................

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ἀθλήσας καρτερῶς
ἐν Κωνσταντινουπόλει
διὰ τὴν τοῦ Χριστοῦ
παναμώμητον πίστιν
τῷ κόσμῳ ἐξέλαμψας
ὥσπερ ἄστρον νεόφωτον
καὶ διέλυσας
σῆς ἀριστείας βολίσι
τὴν σκοτόμαιναν
ἐχθρῶν δουλείας ζοφώδους,
στεῤῥὲ Χρῆστε, ἄριστε.

**Δόξα. Το αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ναμάτων δαψιλὴς
θεοβρύτων ὑπάρχεις
πηγὴ σῶν οἰκετῶν
τὰς αὐχμώσας καρδίας
δροσίζουσα πάντοτε.
Θεοτόκε πανύμνητε·
ὅθεν κράζω σοι·
σβέσον τὸ πῦρ μου κακίας
κατακαῖόν με
καὶ ἀπαθείας πιεῖν μοι
δὸς ὕδωρ ζωήῤῥυτον.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Γενναία ἐνστάσει σου
ὡς ἀριστεὺς τοῦ Χριστοῦ
ἐνίκησας, ἅγιε,
τὰς παρατάξεις ἐχθροῦ·
διὸ καὶ δεδόξασαι·

www.tezaurliturgic.ro


ὅθεν γεραιρόντές σε,
Χρῆστε, πίστεως μάρτυς
νέε, σὰς ἱκεσίας
ἐκδεχόμεθα, πάντες,
πρὸς Κύριον ἡμῶν καὶ Θεόν,
τὸν πολυεύσπλαγχνον.

**Δόξα. Το αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν λύπην διέλυσας
τῆς δυσθυμίας ἡμῶν
τεκοῦσα τὸν Κύριον,
τὴν αἰωνίαν χαράν,
ἁγνὴ ἀειπάρθενε·
ὅθεν σε δυσωποῦμεν,
μετανοίας τῷ φέγγει
αὔγασον διανοίας
ἀναξίων σου δούλων
τὰς νῦν ἐζοφωμένας παθῶν
σκότει, Μητρόθεε.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ἐχθροῦ τὴν ἔπαρσιν καθεῖλες πόνοις σου
στεῤῥᾶς ἀθλήσεως καὶ ἀποτμήσεως
σῆς πανιέρου κεφαλῆς ἐν ἔτεσι τοῖς ἐσχάτοις,
Χρῆστε, μάρτυς πάντιμε, κηπουρὲ ἅμα τίμιε
Κωνσταντινουπόλεως καὶ ὁπλῖτα ἀήττητε
Χριστοῦ τῆς Ἐκκλησίας· διό σοι, χαῖρε, πιστῶς ἀναβοῶμεν.

**Δόξα. Το αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Το α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
**Στίχος.** Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
**Εὐαγγέλιον Μαρτυρικόν.**
**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.** Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις. Ἐλεῆμον...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Ἐλεῆμον....

www.tezaurliturgic.ro

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Θεολήπτῳ καρδίᾳ, Χρῆστε πανάριστε,
τοὺς πόνους τῆς ἐπὶ ξύλου προσδέσεώς σου ὑπέμεινας
καὶ τοῦ αὐχένος σου ἀπότμησιν·
ἀκολουθῶν γὰρ Χριστοῦ τοῖς ἴχνεσι
καὶ τῶν πάλαι κλεινῶν μαρτύρων ὁμόζηλος γενόμενος
τυρρανικὴν ἐξεφαύλισας μανίαν·
διὸ νῦν σὺν Ἀγγέλοις καὶ Ἁγίοις τοῖς ἀπ᾽ αἰῶνος αὐλιζόμενος
Χριστῷ ἀσιγήτως πρέσβευε
ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ νεομάρτυρος, οὗ ἡ ἀκροστιχίς·**

**" Χρῆστον, τὸν νεόαθλον, ὑμνῶ, κηπουρόν. Χ. Μ. "**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Χριστοῦ μάρτυς ἔνδοξε,
ἐν δυσχειμέροις τοῖς ἔτεσι
δουλείας πληρώματος
τοῦ χριστωνύμου πικρᾶς,
Χρῆστε ἄλκιμε,
ὑπὸ ἐκγόνων Ἄγαρ
ἀθλήσας, ἀπείληφας
ἄφθαρτον στέφανον.

Ῥανίσιν ἱδρώτων σου
τῆς Βασιλίδος ἐπίανας
τοὺς κήπους, ἀκάματε,
θεοειδὲς κηπουρέ,
καὶ γεώργιον
ψυχῆς σου φέρειν, Χρῆστε,
καρπὸν ἀγαπήσεως
Κτίστου πολύφορον.

Ἡ σή, Χρῆστε, ἄθλησις
χαρᾶς καρδίας ἐνέπλησε
πιστῶν ὁμηγύρεως
καὶ πτοηθέν, φεῦ, αὐτῆς
ἀνεπτέρωσε
τὸ φρύαγμα πρὸς θείους
ἀγῶνας καὶ σκάμματα
πρὸς ἀνδρικώτατα.

www.tezaurliturgic.ro

**Θεοτοκίον**

Στολὴν τοῦ οἰκέτου σου
ψυχῆς ταχὺ ἀποκάθαρον
ὑσσώπῳ ἐντεύξεων
σῶν μητρικῶν πρὸς Θεόν,
Ὅν ἐκύησας
ἀφράστως, Θεοτόκε,
καὶ πύλας μοι ἄνοιξον
αἰωνιότητος.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Τῶν πάλαι μαρτύρων τοὺς ἀγῶνας
μιμούμενος, Χρῆστε, ἀκλινῶς
καλῶς ὑπῆλθες στάδιον
πανευσθενοῦς ἀθλήσεως
καὶ σαῖς ῥοαῖς ἀπέπνιξας
αἱμάτων τὸν πολεμήτορα.

Ὁ νέος ὑμνείσθω καλλιμάρτυς
τοῖς ᾄσμασι, Χρῆστος ὁ κλεινός,
τῆς Κωνσταντινουπόλεως
ὁ κηπουρὸς ὁ ἔνδοξος,
ὁ κότινον δεξάμενος
λαμπρᾶς ἀθλήσεως πάγχρυσον.

Νεόαθλε μάρτυς τοῦ Ὑψίστου,
ἐκήρυξας στόματι φαιδρῷ
πρὸ τῶν ἀνόμων βήματος
Χριστοῦ τὸ θεῖον ὄνομα
ἐν τοῖς ἐσχάτοις ἔτεσι,
στεῤῥόφρον Χρῆστε, μακάριε.

**Θεοτοκίον**

Τὸν Λόγον Θεοῦ ἡ ἀποῤῥήτως
τεκοῦσα, ἐπήγασας ἡμῖν
ζωὴν τὴν αἰωνίζουσαν,
Θεοκυῆτορ Δέσποινα,
ὡς κρήνη ἀκεσώδυνος
καὶ βρύσις ὄντως ζωήῤῥυτος.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Γόνων ἤμβλυνας τῆς Ἄγαρ κέντρα,
Χρῆστε πάντιμε, τῆς εὐσεβείας
θυρεῷ περιφραχθεὶς καὶ τὸ ὄνομα
ὁμολογήσας Χριστοῦ τὸ πανάγιον

www.tezaurliturgic.ro


ἀθλητικῶς τῆς ἀπάτης τὸ φρύαγμα
κατεπάτησας· διό σου τὴν μνήμην σέβοντες
ὑμνοῦμέν σε ὡς θεῖον νεομάρτυρα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἀπειρόγαμε Παρθενομῆτορ,
καταφύγιον καὶ προστασία
ἀσφαλὴς χριστεπωνύμου πληρώματος,
παῦσον ἐχθροῦ καθ' ἡμῶν τὴν ἐπήρειαν
ἐπιστασίᾳ ἐνθέρμῳ σου, Δέσποινα,
καὶ εἰρήνευσον τὸν βίον ἡμῶν τοῖς πάθεσιν,
ἁγνή, τοῖς ψυχοκτόνοις ταραττόμενον.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ὁλικῶς τὴν σὴν καρδίαν
ἀνατείνων πρὸς Κύριον
ὑπερόπτης ὤφθης
βίου τοῦ προσκαίρου καὶ ῥέοντος,
ὃν κατεφρόνησας, Χρῆστε, ἐπειγόμενος
πρὸς τὴν ἄφθιτον
ζωὴν ἐν θείοις σκηνώμασι.

Νεομάρτυς, ἀλγηδόνας
ἐπὶ ξύλου προσδέσεως,
ῥαβδισμούς, καθείρξεις,
ἀπειλὰς ἀνόμων καὶ μάστιγας
καθυπομείνας ὑπέκλινας τὴν κάραν σου,
Χρῆστε εὔψυχε,
ἀκμῇ μαχαίρας δημίου σου.

Νικητὴς ἐδείχθης, Χρῆστε,
νέε μάρτυς τῆς πίστεως,
κατ' ἐχθρῶν ἀνόμων
ἐναθλήσας ἄρτι στεῤῥότατα
καὶ σῇ ἐνστάσει ἐχθροὺς τῆς Ἄγαρ ᾔσχυνας
καὶ κατέκλυσας
αὐτῶν ἀπάτην σοῖς αἵμασιν.

**Θεοτοκίον**

Ἐλεοῦσα Θεοτόκε,
τῶν πιστῶν καταφύγιον,
ἔργασαί με, Μῆτερ,
οἶκον διὰ βίου σεμνότητος
χαρίτων θείων τὸν δοῦλόν σου, κραυγάζω σοι,
ἡ τὸν Κύριον
τὸν ἐλεήμονα τέξασα.

www.tezaurliturgic.ro

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Οὐδόλως κατέπτηξας
υἱῶν τῆς Ἄγαρ ἔφοδον,
μάρτυς εὐσταλὲς Κυρίου, Χρῆστε,
Αὐτοῦ τὴν κλῆσιν
ὁμολογῶν εὐθαρσῶς
καὶ ὥσπερ ἀμνὸς σφαγιασθεὶς
ὑπαντῆσαι ἔδραμες
τῷ σεπτῷ Ἀρχιποίμενι.

Ἀνδρείως ὑπήνεγκας
σῆς κεφαλῆς ἀπότμησιν
ἐν τῇ Κωνσταντινουπόλει, Χρῆστε,
ὀφθεὶς τοῖς πόνοις
τῶν παλαιῶν ἀθλητῶν
ἐφάμιλλος, μάρτυς, καὶ αὐτῶν
δόξῃ ἰσοστάσιος
ἐν τοῖς ἄνω σκηνώμασι.

Θερμόν σε κεκτήμεθα
μεσίτην πρὸς τὸν Κύριον,
Χρῆστε, νεομάρτυς, καὶ προστάτην
ἐν τοῖς τοῦ βίου
κινδύνοις καὶ συμφοραῖς
οἱ σπεύδοντες σοῦ τῇ ἀρωγῇ
καὶ τὴν σὴν ἐνάθλησιν
τὴν στεῤῥὰν ἑορτάζοντες.

**Θεοτοκίον**

Λαμπρὸν ἀνακτόριον
καὶ φωτοφόρον σκήνωμα,
Κεχαριτωμένη Θεοτόκε,
τοῦ προελθόντος
ἐκ σῆς πανάγνου γαστρός,
Αὐτὸν ἐκδυσώπει ἐκτενῶς
δεῖξαι θείας χάριτος
καὶ ἡμᾶς ἐντευκτήρια.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὁμολογίας κειμήλιον
Χριστοῦ τοῦ παναγίου ὀνόματος,
ἀμνὸς ὡς ἄφωνος
τὴν κεφαλήν σου ὑπέκλινας
δημίου ξίφει, Χρῆστε,
μαρτύρων καύχημα.

www.tezaurliturgic.ro

Νεολαμπὲς ἄστρον πίστεως,
ἐχθρῶν τὴν σκοτομίνην ἐσκέδασας·
πυρφόροις λόγοις σου
καὶ κατεφώτισας ἅπαντας
ἐνστάσεώς σου, Χρῆστε,
τοῖς ἀμαρύγμασιν.

Ὑμνοῦμεν, Χρῆστε, ἀείποτε
τὴν πάντιμόν σου μνήμην κραυγάζοντες·
ἐπιδαψίλευε
ἡμῖν Κυρίου τὸ ἔλεος
καὶ εὐλογίαν πᾶσι
θερμαῖς πρεσβείαις σου.

**Θεοτοκίον**

Μαρία, Νύμφη ἀνύμφευτε
Θεοῦ τοῦ προανάρχου
καὶ ἄσπιλε
Μῆτερ καὶ πάναγνε,
τοῦ συνανάρχου, ὑμνοῦμέν σε,
Υἱοῦ Αὐτοῦ, οἱ δῆμοι
πιστῶν, ἀείποτε.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν κηπουρὸν τὸν εὐσταλῆ ἀνευφημήσωμεν
ἀποτμηθέντα τὸν αὐχένα ὥσπερ σφάγιον
λογικὸν ἐν Βασιλίδι τῇ Πόλει ἄρτι
καὶ τοὺς κήπους οὐρανῶν καθωραΐσαντα
ὡς μυρίπνοον ἀθλήσεως λευκάνθεμον,
πόθῳ κράζοντες· Χαίροις, Χρῆστε πανάλκιμε.

**Ὁ Οἶκος**

Ἄριστε νεομάρτυς,
ὡμολόγησας χαίρων
τὸ ὄνομα τοῦ Κτίσαντος, Χρῆστε,
πρὸ τοῦ βήματος Ἄγαρ υἱῶν
καὶ στεφάνους νίκης ἐκ χειρὸς εἴληφας
τοῦ γέρα πᾶσι νέμοντος
ἀξίως· ὅθεν σοι βοῶμεν·

Χαῖρε, ὁ γόνος τῆς Ἰλλυρίας·
χαῖρε, τὸ εὖχος τῆς Ἐκκλησίας.

www.tezaurliturgic.ro


Χαῖρε, νεομάρτυς τῆς πίστεως ἔνδοξε·
χαῖρε, καλλιμάρτυς Χριστοῦ γενναιότατε.

Χαῖρε, Κωνσταντινουπόλεως ἐθελόθυτε ἀμνέ·
χαῖρε, πάμφωτε ἀθλήσεως θεαρέστου φρυκτωρέ.

Χαῖρε, ὅτι τῆς πλάνης τὰς ἐνέδρας καθεῖλες·
χαῖρε, ὅτι τῆς βλάβης τὰς ὀρέξεις ἀνεῖλες.

Χαῖρε, ἀστὴρ ὁ νέος τῆς πίστεως·
χαῖρε, πρηστὴρ ματαίας φρονήσεως.

Χαῖρε, ἀγρῶν κηπουρὲ τῶν γηΐνων·
χαῖρε, φυτῶν φυτουργὲ ἀθανάτων·

Χαίροις, Χρῆστε πανάλκιμε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΒ´ Φεβρουαρίου. Εἶτα λέγομεν.**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἐνδόξου νεομάρτυρος Χρήστου τοῦ Κηπουροῦ, τοῦ ἐν Κωνσταντινουπόλει ἀρτίως τὴν κεφαλὴν ἀποτμηθέντος.

**Στίχοι**

Καταλιπὼν Χρῆστος κήπους τοὺς κάτω
κήπων ἠξιώθη τρυφῆσαι τῶν ἄνω.

**Συναξάριον.**

Ὁ ἔνδοξος τῆς πίστεως νεομάρτυς Χρῆστος ἕλκων τὴν καταγωγὴν ἐξ Ἰλλυρίας ἤσκει τὸ ἔργον τοῦ κηπουροῦ καὶ πωλητοῦ κηπευτικῶν προϊόντων ἐν Κωνσταντινουπόλει, τῇ Βασιλίδι τῶν Πόλεων. Ἡμέραν τινα κατηγγέλθη τοῖς δυνάσταις τῶν χριστωνύμων, ἐκγόνοις τῆς Ἄγαρ, ὡς ὑβριστὴς τῆς αὐτῶν θρησκείας. Συλληφθεὶς ὅθεν καὶ εἰς εἱρκτὴν ῥιφεὶς ἠναγκάζετο ἐξομῶσαι. Οὗτος, ὅμως, στεῤῥὸς μένων τῇ πατρῴᾳ πίστει καὶ Χριστοῦ τὸ ὑπὲρ πᾶν ὄνομα εὐθαρσῶς πρὸ τῶν δυσσεβῶν ὁμολογήσας ποικιλοτρόπως ἐβασανίσθη καὶ τέλος τὴν κεφαλὴν ἀπετμήθη τῇ 12ῃ Φεβρουαρίου τοῦ 1748.
Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ´. Οὐκ ἐλάτρευσαν.**

Νέον πίστεως
ὡραΐσμα, λαμπρότητος
τῆς θείας μέτοχος
ἐδείχθης, Χρῆστε σοφέ,
ὡς μάρτυς περίδοξος
καὶ ὑπερθαύμαστος·
σὺ γὰρ ὄνομα

www.tezaurliturgic.ro 

διαπρυσίως, ἅγιε,
ὡμολόγησας Κυρίου.

Ὡς νεόφωτον
ἀστέρα σε γεραίρομεν
τὸν ἀνατείλαντα
ἐκ τοῦ δεινοῦ σκοτασμοῦ
τῆς Ἄγαρ δουλώσεως
καὶ γενναιότητος
ἐκπυρσεύμασι
τὰ σύμπαντα φαιδρύναντα,
Χρῆστε, νέε καλλιμάρτυς.

Καταλέλοιπας
τῆς Κωνσταντινουπόλεως
τοὺς κήπους, ἔνδοξε,
καταυγασθεὶς τῷ φωτὶ
τῷ θείῳ καὶ ἔδραμες
δι' ἐναθλήσεως,
Χρῆστε ὄλβιε,
πρὸς κήπους θείας χάριτος
καὶ ζωῆς τῆς αἰωνίου.

**Θεοτοκίον**

Ἡ ἀμόλυντος
Θεογεννῆτορ Ἄνασσα,
εὐθεῖαν δίδου μοι
γνώμην ποθεῖν ἀκλινῶς
ἐν πόλῳ τὰ ἄῤῥευστα
καὶ διαμένοντα
καὶ καρδίαν μου
ἀμόλυντον φαυλότητος
διατήρει τοῦ Βελίαρ.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Πλάνης τὴν ἀπάτην τῇ δρεπάνῃ
ἀπέτεμες, Χρῆστε μάρτυς, σῆς ἐνστάσεως
καὶ στεῤῥῷ φρονήματι
ἐκτμηθεὶς αὐχένα σου
πρὸς θεϊκὰ σκηνώματα
ταχέως ἔδραμες
λαμπόμενος ὡς μάρτυς γενναῖος
αἴγλῃ καὶ εὐκλείᾳ
ἀθλητικῇ, τρισμάκαρ.

Ὄρπηξ ὡς νεόδρεπτος ἀνδρείας
καὶ πίστεως εἰς Χριστὸν τὸν Παντοκράτορα.

Χρῆστε γενναιότατε,
κηπουρὲ θεσπέσιε
τῆς Κωνσταντινουπόλεως,
Θεοῦ τῇ χάριτι
καλῶς μετεφυτεύθης εἰς κήπους
οὐρανοῦ πρεσβεύων
ὑπὲρ τῶν σὲ τιμώντων.

Ὕψωσον τὸν νοῦν τῶν σὲ ὑμνούντων
πρὸς κρείττονα πόθον, Χρῆστε πανσεβάσμιε,
ἐκ τῆς ματαιότητος,
ἐμπαθείας χείρρονος
καὶ χαμερποῦς βιώσεως,
ὁ δι' ἀγάπησιν
Κυρίου ἑαυτὸν ταπεινώσας
ἄχρι μαρτυρίου
καὶ τμήσεως αὐχένος.

**Θεοτοκίον**

Ῥῦσαι πειρασμῶν τοὺς σοὺς οἰκέτας
καὶ πάσης ἐπιβουλῆς τοῦ πολεμήτορος
τοὺς ἀεὶ προστρέχοντας
σκέπη τῇ ἁγίᾳ σου,
εὐλογημένη Δέσποινα,
Θεογεννήτρια,
πιστῶν παραμυθία γλυκεῖα
καὶ ταχεῖα ῥῦστις
ἐκ βλάβης καὶ ἀνάγκης.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Ὁ νεοφανὴς
ὁπλίτης τῆς πίστεως
καὶ μάρτυς ἄριστος,
Χρῆστος ὁ ἀοίδιμος,
ὁ τὰς παγίδας
συντρίψας τάχιστα
τυράννου θείᾳ χάριτι,
ἀπελευθέρωσον
νοῦν μου, κράζω,
τῶν παγίδων ὄφεως
τοῦ δολίου δεινῶς πολεμοῦντός με.

Νέε ἀθλητὰ
Χριστοῦ θείας πίστεως,
εἱρκτὴν καὶ μάστιγας
καὶ αὐχένος ἔκτμησιν
καθυπομείνας

www.tezaurliturgic.ro


διὰ τὸν Κύριον,
τῆς αἰωνίου δόξης σου
συγκληρονόμον με
καθ' ἑκάστην
σὲ τὸν μεγαλύνοντα,
Χρῆστε, μάρτυς γενναῖε, ἀνάδειξον.

Χαίρων πρὸς ζωὴν
ἀθάνατον ἔδραμες
καὶ λῆξιν ἄφθιτον,
Χρῆστε τρισμακάριστε,
ὁ ἐν μεθέξει
σαφῶς θεούμενος
καὶ Κτίστην ἱλεούμενος
ἡμῖν καὶ Κύριον
καὶ Δεσπότην
Ἰησοῦν, Ὦ πρέσβευε
ὑπὲρ πάντων τῶν ὕμνοις τιμώντων σε.

**Θεοτοκίον**

Μόνον τὸν Χριστὸν
ὡς βρέφος, πανύμνητε,
Ὅνπερ ἐβάστασας
καὶ μαζῶν σου γάλακτι
Ὃν ἐγαλούχησας, θεονύμφευτε,
ὑπὲρ τῶν προστρεχόντων σοι
δυσώπει πάντοτε,
ἵνα θρέψῃ
σὲ τοὺς μεγαλύνοντας
ἄρτῳ, μῆτερ, ζωῆς τῆς ἀτέρμονος.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ὑπὲρ Χριστοῦ προέκρινας
τμηθῆναι τὸν αὐχένα σου
ἐν Βασιλίδι τῇ Πόλει
ἀρτίως, Χρῆστε παμμάκαρ,
τοῦ σὲ καταξιώσαντος
τρυφῆσαι κήπων χάριτος
τῆς ἐν Ἐδὲμ τερπνότητος
ὡς κηπουρῶν νεοάθλων
πολυτιμότατον ὄλβον.

**Θεοτοκίον**

Ἰσχὺν ὑψόθεν δίδου μοι,
Παρθένε εὐσυμπάθητε,
πατῆσαι δύναμιν πᾶσαν

τοῦ πτερνιστοῦ τοῦ ἀρχαίου
καὶ ἐν ἰσχύϊ, ἄχραντε,
ὁδεῦσαι θείᾳ δίοδον
τῶν ἐντολῶν τοῦ Τόκου σου
καλῶς τὴν καθοδηγοῦσαν
πρὸς τὴν ζωὴν τὴν ἀγήρω.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ, τοῦ παραδόξου θαύματος!**

Χρῆστε, νεομάρτυς ἔνδοξε,
γηΐνους κήπους λιπὼν
ἀπολαῦσαι ἀνέδραμες
κήπους ἀφθαρτότητος
δι᾽ ἀρίστης ἀθλήσεως·
κλίνας γὰρ κάραν
τὴν σὴν πανίερον
δημίου ξίφει
στολὴν ἐλάμπρυνας
ῥείθροις αἱμάτων σου
σῆς ψυχῆς καὶ ἔδραμες τῷ Λυτρωτῇ
ὑπαντῆσαι, ἄριστε,
ἐν θείοις δώμασι.

Μάρτυς τοῦ Χριστοῦ, νεόαθλε,
ὁμολογίας λαμπρᾶς
τοῦ πανσέπτου ὀνόματος
τοῦ Υἱοῦ τοῦ Κτίσαντος,
Θεανθρώπου, κειμήλιον,
ἐν Βασιλίδι
πασῶν τῶν Πόλεων
ἐφέσει ὅλῃ
ἁγνῆς καρδίας σου
ἔστησας τρόπαιον
νίκης θείας πίστεως τοῦ Λυτρωτοῦ
καὶ ἐχθροῦ ἐπάτησας,
Χρῆστε, τὸ φρύαγμα.

Νέε ἀθλητὰ τῆς πίστεως,
νομίμως ὑπὲρ Χριστοῦ
ἐναθλήσας κατήσχυνας
δυσσεβούντων τάγματα
καὶ καρδίας ἐφαίδρυνας
τοῦ χριστωνύμου
λαοῦ ἐν ἔτεσι
δουλείας Ἄγαρ
υἱῶν, πανεύφημε,
Χρῆστε μακάριε·

www.tezaurliturgic.ro

ὅθεν πάντες μνήμην σου τὴν ἱερὰν
γεγηθότες μέλπομεν
εὐήχοις ᾄσμασι.

Μνήμην τὴν σεπτήν σου ἄγοντες,
φιλομαρτύρων χοροί,
Χρῆστε, πίστεως σέμνωμα,
δόξαν ἀναπέμπομεν
τῷ λαμπρῶς σε ἰσχύσαντι
υἱοὺς τῆς Ἄγαρ
τροπῶσαι σθένει σου
ἀπεριτρέπτῳ
καὶ μαρτυρίῳ σου
θείῳ, τρισόλβιε,
ἐκτενῶς Ὦ πρέσβευε ὑπὲρ ἡμῶν,
νεομάρτυς πάντιμε.
τῶν εὐφημούντων σε.

**Δόξα. Ἦχος πλ. α΄.**

Τοῦ Σταυροῦ τὴν πανοπλίαν ἐνδυσάμενος
ἀθλητικῶς ἠγώνισαι ἐν ἐσχάτοις χρόνοις
καὶ Χριστὸν εὐθαρσῶς ὡμολόγησας,
Χρῆστε, μάρτυς στεῤῥόψυχε·
τὸν γὰρ προκείμενον ἀγῶνα ἐν αἵματι ἐτέλεσας οἰκείῳ σου
καὶ χριστομάχων τὸ φρύαγμα καθεῖλες
ἀθλητικῇ σου ἐνστάσει καὶ μαρτυρίῳ·
ὅθεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία εὐφροσύνως γεραίρουσά σε
τὰς ὁλοθέρμους εὐχάς σου ἀπεκδέχεται
πρὸς τὸν ἐνισχύσαντά σε φιλάνθρωπον Κύριον.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

...........................................................................................

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολον ζήτει τοῦ Ἁγίου Μάμαντος, τῇ β΄ Σεπτεμβρίου.**
(Ρωμ. η΄ 28 - 39 ). Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν....

**Εὐαγγέλιον τὸ τοῦ Ἁγίου Γεωργίου.** (Ἰω. ιε΄ 17 ιστ΄ 2 ).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν....

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

www.tezaurliturgic.ro


**Μεγαλυνάριον**

Χαίροις, νεομάρτυς περιφανές,
Χρῆστε, ὡραιότης
καὶ ἀγλάϊσμα κηπουρῶν,
χαίροις, ὁ ποτίσας
ἐν Κωνσταντινουπόλει
αἱμάτων σου τοῖς ῥείθροις
δένδρον τῆς πίστεως.

**Δίστιχον**

Σκέπε, Χρῆστε μάρτυς, βοᾷ Χαραλάμπης
Γαβιὴλ ἀκόλουθον, φερώνυμόν σου.

Κήπων κληρονόμον, κηπουρέ, τῶν ἄνω
δεῖξον Χαραλάμπη σὸν ὑμνητήν, Χρῆστε.

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**

**ΘΕΩ ΗΜΩΝ**